propterea quòd id non eſt Rhetoricæ artis, ſed prudentioris, ac verioris, & quia multo plura data ſunt etiam nunc ipſi, quàm propriæ poſtulent cõtemplationes. Quod enim etiam prius diximus, verum eſt, Rhetoricam compoſitam eſſe tum ex Analytica ſcientia, tum ex Politica quæ in moribus verſatur: ſimilem verò eſſe partim Dialecticæ, partim Sophiſticis ſermonibus. Quòd ſiquis vel Dialecticam, vel hanc non tanquam facultates, ſed ſcientias conetur inſtruere, latenter naturam ipſarum demolietur, eo quòd tranſeat concinnans in ſcientias ſubiectarum quarundam rerum, ſed non ſolummodo rationum. Verumtamen quæcunque melius eſt, vt explicentur, ac præterea relinquunt meditationem Politicæ ſcientiæ, dicamus etiam nunc. Fermè enim, de quibus conſultant omnes, & de quibus concionantur illi, qui deliberant, res maximè ſunt quinque numero. Atque hę ſunt, de apparationibus pecuniarum, & bello, & pace: præterea verò de cuſtodia regionis, & iis, quæ importantur, & exportantur, & legum latione. Quare de apparationibus pecuniarum qui deliberaturus fuerit, eum oportebit reditus ciuitatis ſcire, qui, & quanti ſint: vt ſiquis deſit, adiungatur: &, ſi quis minor ſit, augeatur. Præterea verò ſumptus ciuitatis omnes, vt ſi quis ſuperuacaneus ſit, tollatur, &, ſi quis maior ſit, minor efficiatur. Non enim ſolum ad ea, quæ adſunt, adiungendo ditiores fiunt, ſed etiam detrahendo de ſumptibus. Atque hæc non ſolum ex rerum priuatarum experientia contingit contueri, ſed neceſſarium eſt eorum, quæ alij inuenerunt, hiſtoricum eſſe ad eam, quæ de his habetur, deliberationem. At de bello, & pace facultatem ſcire ciuitatis, & quanta iam adſit, & quantam contingat adeſſe, & qualis ſit ea, quæ habeatur, & quæ poſſit adiungi. Præterea verò bella quomodo, & quæ geſſerit, ac non ſolum propriæ ciuitatis, ſed etiam finitimorum, hæc ipſa neceſſarium eſt ſcire, vel etiam, quibuſcum glorioſum eſt bellare, vt cum potentioribus quidem pax exerceatur, cum minoribus verò in ipſorum arbitrio ſit bellare, & facultates, vtrum ſimiles, an diſſimiles. Cõſiſtit enim etiam in hac parte, vt plus poſſideamus, aut inferiores ſimus. Neceſſarium verò eſt, harum quoque rerum cauſſa non ſolum propria bella animaduertiſſe, ſed

A διὰ τὸ μήτε τῆς ῥητορικῆς εἶναι τέχνης, ἀλλ'
ἐμφρονεστέρας καὶ μᾶλλον ἀληθινῆς· πολλῷ
δὲ πλείω δεδόσθαι καὶ νῦν αὐτῇ, τῶν οἰκείων
θεωρημάτων· ὅπερ γὰρ καὶ πρότερον εἰρηκότες
τυγχάνομεν, ἀληθές ἐστιν, ὅτι ἡ ῥητορικὴ, σύγ-
κειται μὲν ἔκ τε τῆς ἀναλυτικῆς ἐπιστήμης,
καὶ τῆς περὶ τὰ ἤθη πολιτικῆς· ὁμοία δ' ἐστὶ,
τὰ μὲν, τῇ διαλεκτικῇ· τὰ δὲ, τοῖς σοφιστικοῖς
λόγοις. ὅσῳ δ' ἄν τις, ἢ τὴν διαλεκτικὴν, ἢ
B ταύτην. μὴ καθάπερ ἂν δυνάμεις, ἀλλ'
ἐπιστήμας πειρᾶται κατασκευάζειν, λήσε-
ται τὴν φύσιν αὐτῶν ἀφανίσας, τῷ μετα-
βαίνειν ἐπισκευάζων εἰς ἐπιστήμας ὑποκει-
μένων τινῶν πραγμάτων, ἀλλὰ μὴ μόνον
λόγων. ὅμως δὲ, ὅσα πρὸ ἔργου μέν ἐστι, διε-
λεῖν· ἔτι δ', ὑπολείπει σκέψιν τῇ πολι-
τικῇ ἐπιστήμῃ, εἴπωμεν καὶ νῦν· σχεδὸν γὰρ,
περὶ ὧν βουλεύονται πάντες, καὶ περὶ ἃ ἀ-
C γορεύουσιν οἱ συμβουλεύοντες, τὰ μέγιστα
τυγχάνει πέντε τὸν ἀριθμὸν ὄντα· ταῦτα
δ' ἐστὶ, περί τε πόρων, καὶ πολέμου καὶ εἰ-
ρήνης· ἔτι δὲ, περὶ φυλακῆς τῆς χώρας, καὶ
τῶν εἰσαγομένων καὶ ἐξαγομένων· καὶ περὶ
νομοθεσίας. ὥστε, περὶ μὲν πόρων τὸν μέλ-
λοντα συμβουλεύσειν, δέοι ἂν τὰς προσό-
δους τῆς πόλεως εἰδέναι, τίνες, καὶ πόσαι, ὅ-
πως, εἴτε τις παραλείπεται, προστεθῇ καὶ
D εἴ τις ἐλάττων, αὐξηθῇ· ἔτι δὲ, τὰς δαπάνας
τῆς πόλεως ἁπάσας, ὅπως εἴ τις περίεργος,
ἀφαιρεθῇ· καὶ εἴ τις μείζων, ἐλάττων γίνηται·
οὐ γὰρ μόνον πρὸς τὰ ὑπάρχοντα προστιθέν-
τες πλουσιώτεροι γίγνονται, ἀλλὰ καὶ ἀ-
φαιροῦντες τῶν δαπανημάτων. ταῦτα δ', οὐ
μόνον ἐκ τῆς περὶ τὰ ἴδια ἐμπειρίας ἐνδέ-
χεται συνορᾷν· ἀλλ' ἀναγκαῖον καὶ τῶν παρὰ
E τοῖς ἄλλοις εὑρημένων, ἱστορικὸν εἶναι, πρὸς τὴν
περὶ τούτων συμβουλήν. περὶ δὲ πολέμου
καὶ εἰρήνης, τὴν δύναμιν εἰδέναι τῆς πόλεως,
ὁπόση τε ὑπάρχει ἤδη, καὶ πόσην ἐνδέχεται
ὑπάρξαι· καὶ ποία τις, ἥ τε ὑπάρχουσά ἐστι,
καὶ ἥτις ἐνδέχεται προσγενέσθαι. ἔτι δὲ, πολέ-
μους τινὰς, καὶ πῶς πεπολέμηκεν· οὐ μόνον
δὲ τῆς οἰκείας πόλεως, ἀλλὰ καὶ τῶν ὁμόρων,
F ταῦτα ἀναγκαῖον εἰδέναι· ἢ καὶ πρὸς οὓς ἐ-
πίδοξον πολεμεῖν, ὅπως, πρὸς μὲν τοὺς κρείτ-
τους, εἰρηνεύηται· πρὸς δὲ τοὺς ἥττους, ἐπ'
αὐτοῖς ᾖ τὸ πολεμεῖν. καὶ τὰς δυνάμεις, πότερον ὅμοιαι, ἢ ἀνόμοιαι· ἔστι γὰρ καὶ ταύτῃ πλεονεκτεῖν,
ἢ ἐλαττοῦσθαι. ἀναγκαῖον δὲ καὶ πρὸς ταῦτα, μὴ μόνον τοὺς οἰκείους πολέμους τεθεωρηκέναι,
ἀλλὰ καὶ